# Πρὸς ΚΕΡΚΥΡΑΙΟΥΣ

Περὶ τῆς νεωστὶ ἐκδοθείσης Παρὰ τοῦ εὐγενεστάτου

## ἈΝΔΡΕΟΥ ΜΑΡΜΟΡΑ ἹΣΤΟΡΙΑΣ

Ἐπίγραμμα

Ioannis Cigalæ Nob. Cyprij, in celeberrimo Patauino Gymnasio Publico Philosophiæ Professore.

Ἄνδρες ἀρηΐφιλοι, κλεινῶν γενεὴ βασιλήων,
  Ἄξια φαιήκων τέκνα παλαιγενέων·
Ἣν πρώτης ποθέοντε μαθεῖν ναετῆρας, ἀρίστης
  Ἑλλαδικῶν πολέων, πατρίδος ὑμετέρης,
Καὶ πόσον ἠρίστευσαν ἐνὶ πτολέμοισι πολῖται,
  Δύσμαχοι ἀντιπάλοις κἂν χθονὶ, κἂν πελάγει,
Πρόφρονέως δέξασθε κλυτοῦ πολυΐστορα βίβλον
  ἈΝΔΡΕΟΥ, ἣν τεῦξε κυδαλίμοις καμάτοις.
Ταύτῃ γὰρ τοκέων μεγαλώνυμα ἔργα συνάψας,
  Ἃ σκοτόεν λήθης ἀμφεκάλυψε νέφος,
Εἰς φάος ἐξενήνεγκεν, ὅπως αἰεὶ διασώσῃ
  Ἐν πινυταῖς παίδων ὀψιγόνων πραπίσι.
Τοὔνεκεν ἐκτίνειν πολὺ μείζον' ὀφείλετε τούτῳ,
  Ἤ ἐπερ ὑμετέροις ἀρχεγόνοισι, χάριν.
Ἔργα γὰρ ἡρώων δαμάει χρόνος· ἀλλ' ἵνα μίμνῃ
  Ἄφθιτα, τῶν προγόνων οὗτος ἔσωσε κλέα.